Ἀείδω δ' ὑπὸ σοὶ δεδμημένον ἄρεα βέσσων,
Ὅσσ' ἐδάην πολέμου πάντ' ἀναλεξάμενος.
Ἀλλά μοι ὡς θεὸς ἔσσο κατήκοος, εὐχομένου δὲ
Κλῦθι· τίς οὖν μούσαις οὔατος ἀσχολίη;

---

## ΕΙΣ ΕΡΩΤΑ, κεφ. κζ.

### ΜΕΛΕΑΓΡΟΥ.

Τρισσαὶ μὲν χάριτες, τρεῖς δὲ γλυκυπάρθενοι ὧραι,
Τρεῖς δέ με θηλυμανεῖς οἰστροβολοῦσι πόθοι.
Ἦ γάρ τοι τρία τόξα κατήρυσεν, ὡς ἄρα μέλλων
Οὐχὶ μίαν τρώσειν, τρεῖς δ' ἐν ἐμοὶ κραδίας;

### Ἄδηλον.

Αὐτὸ τὸ πῦρ καύσειν διζήμενος οὗτος, ὁ νύκτωρ
Τὸν καλὸν ἱμείρων λύχνον ἀναφλογίσαι,
Δεῦρ' ἀπ' ἐμῆς ψυχῆς ἅψον σέλας. ἔνδοθι γάρ με
Καιόμενον, πολλὴν ἐξανίησι φλόγα.

### Ἄδηλον.

Τίς θεὸν εἶπεν ἔρωτα; θεοῦ κακὸν οὐδὲν ὁρῶμεν
Ἔργον· ὁ δ' ἀνθρώπων αἵμασι μειδιάει.
Οὐ θοὸν ἐν παλάμαις κατέχει ξίφος. ἠνὶ δ' ἄπιστα
Τῆς θεοδηλήτου σκῦλα μιαιφονίης.
Μήτηρ μὲν σὺν παιδὶ κατέφθιτο· αὐτὰρ ἐπ' αὐταῖς
Ποίνιμος ἔκτεινεν φῶτα λιθοκτονίη.
Καὶ ταῦτ' οὔτ' ἀΐδος, οὔτ' ἄρεος, ἔργα δ' ἔρωτος
Λεύσσομεν, οἷς παίζει κεῖνος ὁ νηπίαχος.

ΛΕΩ-